7:1 대제사장이 이르되 이것이 사실이냐

Εἶπεν δὲ ὁ ἀρχιερεύς· εἰ ταῦτα οὕτως ἔχει;

ἀρχιερεύς	주격 단 남 [ἀρχιερεύς 대제사장]

2 스데반이 이르되 여러분 부형들이여 들으소서 우리 조상 아브라함이 하란에 있기 전 메소보다미아에 있을 때에 영광의 하나님이 그에게 보여

ὁ δὲ ἔφη· Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε.
Ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι
ἐν τῇ Μεσοποταμίᾳ πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρρὰν

ὤφθη	3인칭 단 부정과거 수동 [ὁράω 보다]
πρὶν	[~하기 전에]
κατοικῆσαι	부정사 부정과거 [κατοικέω 거주하다]

3 이르시되 네 고향과 친척을 떠나 내가 네게 보일 땅으로 가라 하시니

καὶ εἶπεν πρὸς αὐτόν· ἔξελθε ἐκ τῆς γῆς σου καὶ [ἐκ]
τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω.

συγγενείας	소유격 단 여 [συγγένεια 친척]
δεῦρο	[거기로]
δείξω	1인칭 단 부정과거 접속법 [δείκνυμι 보이다]

4 아브라함이 갈대아 사람의 땅을 떠나 하란에 거하다가 그의 아버지가 죽으매
하나님이 그를 거기서 너희 지금 사는 이 땅으로 옮기셨느니라
τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν Χαρράν.
κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν
αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε,

κἀκεῖθεν	[거기로부터]
μετῴκισεν	3인칭 단 부정과거 [μετοικίζω 옮기다]

5 그러나 여기서 발 붙일 만한 땅도 유업으로 주지 아니하시고 다만 이 땅을 아직 자식도
없는 그와 그의 후손에게 소유로 주신다고 약속하셨으며
καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ οὐδὲ βῆμα ποδὸς
καὶ ἐπηγγείλατο δοῦναι αὐτῷ εἰς κατάσχεσιν αὐτὴν
καὶ τῷ σπέρματι αὐτοῦ μετ᾽ αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου.

κληρονομίαν	목적격 단 여 [κληρονομία 유업, 상속]
βῆμα	목적격 단 중 [βῆμα 걸음, 연단]
ποδὸς	소유격 단 남 [πούς 발]
ἐπηγγείλατο	3인칭 단 부정과거 중간 [ἐπαγγέλλω 선포하다, 약속하다]
κατάσχεσιν	목적격 단 여 [κατάσχεσις 소유]

6 하나님이 또 이같이 말씀하시되 그 후손이 다른 땅에서 나그네가 되리니 그 땅
사람들이 종으로 삼아 사백 년 동안을 괴롭게 하리라 하시고
ἐλάλησεν δὲ οὕτως ὁ θεὸς ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ
πάροικον ἐν γῇ ἀλλοτρίᾳ καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν
ἔτη τετρακόσια·

πάροικον	주격 단 중성 [πάροικον 외국인 거주자]
κακώσουσιν	3인칭 복 미래 [κακόω 괴롭히다]
ἔτη	목적격 복 중 [ἔτος 해, 년]
τετρακόσια	목적격 복 중 [τετρακόσιοι 사백]

7 또 이르시되 종 삼는 나라를 내가 심판하리니 그 후에 그들이 나와서 이 곳에서 나를 섬기리라 하시고

καὶ τὸ ἔθνος ᾧ ἐὰν δουλεύσουσιν κρινῶ ἐγώ, ὁ θεὸς εἶπεν, καὶ μετὰ ταῦτα ἐξελεύσονται καὶ λατρεύσουσίν μοι ἐν τῷ τόπῳ τούτῳ.

ἐξελεύσονται	3인칭 복 미래 [ἐξέρχομαι 나가다]
λατρεύσουσίν	3인칭 복 미래 [λατρεύω 섬기다]
τόπῳ	여격 단 남 [τόπος 장소]

8 할례의 언약을 아브라함에게 주셨더니 그가 이삭을 낳아 여드레 만에 할례를 행하고 이삭이 야곱을, 야곱이 우리 열두 조상을 낳으니라

καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς· καὶ οὕτως ἐγέννησεν τὸν Ἰσαὰκ καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καὶ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.

διαθήκην	목적격 단 여 [διαθήκη 언약, 유언]
περιτομῆς	소유격 단 여 [περιτομή 할례]
ἐγέννησεν	3인칭 단 부정과거 [γεννάω 낳다]
περιέτεμεν	3인칭 단 부정과거 [περιτέμνω 할례하다]
ὀγδόῃ	여격 단 여 [ὄγδοος 여덟 째]
πατριάρχας	목적격 복 남 [πατριάρχης 조상]

9 여러 조상이 요셉을 시기하여 애굽에 팔았더니 하나님이 그와 함께 계셔

Καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυπτον. καὶ ἦν ὁ θεὸς μετ᾽ αὐτοῦ

ζηλώσαντες	분사 주격 복 남 [ζηλόω 시기하다]
ἀπέδοντο	3인칭 복 부정과거 중간태 [ἀποδίδωμι 팔다]

10 그 모든 환난에서 건져내사 애굽 왕 바로 앞에서 은총과 지혜를 주시매 바로가 그를 애굽과 자기 온 집의 통치자로 세웠느니라

καὶ ἐξείλατο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ᾽ Αἴγυπτον καὶ [ἐφ᾽] ὅλον τὸν οἶκον αὐτοῦ.

ἐξείλατο	3인칭 단 부정과거 중간 [ἐξαιρέω 빼내다, 선택하다, 구제하다]
ἔδωκεν	3인칭 단 부정과거 [δίδωμι 주다]
χάριν	목적격 단 여 [χάρις 은혜, 호의]
κατέστησεν	3인칭 단 부정과거 [καθίστημι 임명하다]
ἡγούμενον	분사 목적격 단 남 [ἡγέομαι 이끌다]
ὅλον	목적격 단 남 [ὅλος 온, 전체의]

11 그 때에 애굽과 가나안 온 땅에 흉년이 들어 큰 환난이 있을새 우리 조상들이 양식이 없는지라

ἦλθεν δὲ λιμὸς ἐφ᾽ ὅλην τὴν Αἴγυπτον καὶ Χανάαν καὶ θλῖψις μεγάλη, καὶ οὐχ ηὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.

λιμὸς	주격 단 남 [λιμὸς 기근, 흉년]
ηὕρισκον	3인칭 복 미완료 [εὑρίσκω 발견하다]
χορτάσματα	목적격 복 중 [χόρτασμα 양식]

12 야곱이 애굽에 곡식 있다는 말을 듣고 먼저 우리 조상들을 보내고

ἀκούσας δὲ Ἰακὼβ ὄντα σιτία εἰς Αἴγυπτον ἐξαπέστειλεν τοὺς πατέρας ἡμῶν πρῶτον.

σιτία	목적격 복 중 [σιτίον 낟알 (복수) 양식]
ἐξαπέστειλεν	3인칭 단 부정과거 [ἐξαποστέλλω 보내다]

13 또 재차 보내매 요셉이 자기 형제들에게 알려지게 되고 또 요셉의 친족이 바로에게 드러나게 되니라

καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ
καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος [τοῦ] Ἰωσήφ.

δευτέρῳ	여격 단 중 [δεύτερος 두 번째]
ἀνεγνωρίσθη	3인칭 단 부정과거 수동 [ἀναγνωρίζω 알게 하다]
φανερὸν	목적격 단 중 [φανερός 보이는, 명백한]

14 요셉이 사람을 보내어 그의 아버지 야곱과 온 친족 일흔다섯 사람을 청하였더니

ἀποστείλας δὲ Ἰωσὴφ μετεκαλέσατο Ἰακὼβ τὸν πατέρα αὐτοῦ
καὶ πᾶσαν τὴν συγγένειαν ἐν ψυχαῖς ἑβδομήκοντα πέντε.

μετεκαλέσατο	3인칭 부정과거 중간 [μετακαλέω 부르다]
συγγένειαν	목적격 단 여 [συγγένεια 친척, 친족]
ἑβδομήκοντα	[70]

15 야곱이 애굽으로 내려가 자기와 우리 조상들이 거기서 죽고

καὶ κατέβη Ἰακὼβ εἰς Αἴγυπτον καὶ ἐτελεύτησεν αὐτὸς
καὶ οἱ πατέρες ἡμῶν,

κατέβη	3인칭 단 부정과거 [καταβαίνω 내려가다]
ἐτελεύτησεν	3인칭 단 부정과거 [τελευτάω 끝내다, 죽다]

16 세겜으로 옮겨져 아브라함이 세겜 하몰의 자손에게서 은으로 값 주고 산 무덤에 장사 되니라

καὶ μετετέθησαν εἰς Συχὲμ καὶ ἐτέθησαν ἐν τῷ μνήματι ᾧ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὼρ ἐν Συχέμ.

μετετέθησαν	3인칭 복 부정과거 수동 [μετατίθημι 옮기다]
μνήματι	여격 단 중 [μνῆμα 무덤]
ὠνήσατο	3인칭 단 부정과거 [ὠνέομαι 사다]
τιμῆς	소유격 단 여 [τιμή 값]
ἀργυρίου	소유격 단 중 [ἀργύριον 은, 돈]

17 하나님이 아브라함에게 약속하신 때가 가까우매 이스라엘 백성이 애굽에서 번성하여 많아졌더니

Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὡμολόγησεν ὁ θεὸς τῷ Ἀβραάμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ

ἤγγιζεν	3인칭 단 미완료 [ἐγγίζω 가까워지다]
ὡμολόγησεν	3인칭 단 부정과거 [ὁμολογέω 동의하다, 약속하다]
ηὔξησεν	3인칭 단 부정과거 [αὐξάνω 증가시키다, 증가하다]

18 요셉을 알지 못하는 새 임금이 애굽 왕위에 오르매

ἄχρι οὗ ἀνέστη βασιλεὺς ἕτερος [ἐπ' Αἴγυπτον]
ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ.

ἄχρι	[~때 까지]
ἕτερος	주격 단 남 [ἕτερος 다른]
ᾔδει	3인칭 단 과거완료 [οἶδα 알다]

19 그가 우리 족속에게 교활한 방법을 써서 조상들을 괴롭게 하여 그 어린 아이들을 내버려 살지 못하게 하려 할새

οὗτος κατασοφισάμενος τὸ γένος ἡμῶν ἐκάκωσεν τοὺς πατέρας [ἡμῶν] τοῦ ποιεῖν τὰ βρέφη ἔκθετα αὐτῶν εἰς τὸ μὴ ζῳογονεῖσθαι.

κατασοφισάμενος	분사 부정과거 중간(dep) 주격 단 남 [κατασοφίζομαι 교활하게 다루다]
ἐκάκωσεν	3인칭 단 부정과거 [κακόω 괴롭히다]
βρέφη	목적격 중 복 [βρέφος 태아, 유아]
ἔκθετα	목적격 중 복 [ἔκθετος 버려진, 노출된]
ζῳογονεῖσθαι	부정사 수동태 [ζωογονέω 생명을 주다, 살려두다]

20 그 때에 모세가 났는데 하나님 보시기에 아름다운지라 그의 아버지의 집에서 석 달 동안 길리더니

Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς καὶ ἦν ἀστεῖος τῷ θεῷ·
ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός,

ἀστεῖος	주격 단 남 [ἀστεῖος 잘생긴, 세련된]
ἀνετράφη	3인칭 단 부정과거 수동 [ἀνατρέφω 키우다]
μῆνας	목적격 남 복 [μήν 달]

21 버려진 후에 바로의 딸이 그를 데려다가 자기 아들로 기르매

ἐκτεθέντος δὲ αὐτοῦ ἀνείλατο αὐτὸν ἡ θυγάτηρ Φαραὼ
καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν.

ἐκτεθέντος	분사 부정과거 수동 소유격 단 남 [ἐκτίθημι 버리다]
θυγάτηρ	주격 단 여 [θυγάτηρ 딸]
ἀνείλατο	3인칭 단 부정과거 중간 [ἀναιρέω 들어 올리다, 없애다]
ἀνεθρέψατο	3인칭 단 부정과거 중간 [ἀνατρέφω 키우다]

22 모세가 애굽 사람의 모든 지혜를 배워 그의 말과 하는 일들이 능하더라
καὶ ἐπαιδεύθη Μωϋσῆς [ἐν] πάσῃ σοφίᾳ Αἰγυπτίων,
ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἔργοις αὐτοῦ.

ἐπαιδεύθη	3인칭 단 부정과거 수 [παιδεύω 양육하다]
δυνατὸς	주격 단 남 [δυνατὸς 강력한, 능력 있는]

23 나이가 사십이 되매 그 형제 이스라엘 자손을 돌볼 생각이 나더니
Ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσερακονταετὴς χρόνος,
ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι
τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ.

ἐπληροῦτο	3인칭 단 미완료 수동 [πληρόω 채우다]
τεσσαρακονταετής	[사십]
χρόνος	주격 단 남 [χρόνος 시간]
ἀνέβη	3인칭 단 부정과거 [ἀναβαίνω 올라가다]
ἐπισκέψασθαι	부정사 부정과거 [ἐπισκέπτομαι 돌보다]

24 한 사람이 원통한 일 당함을 보고 보호하여 압제 받는 자를 위하여 원수를 갚아 애굽 사람을 쳐 죽이니라
καὶ ἰδών τινα ἀδικούμενον ἠμύνατο καὶ ἐποίησεν ἐκδίκησιν
τῷ καταπονουμένῳ πατάξας τὸν Αἰγύπτιον.

ἀδικούμενον	분사 수동 목적격 단 남 [ἀδικέω 부당하게 행하다, 해를 입히다]
ἠμύνατο	3인칭 단 부정과거 [ἀμύνομαι 보복하다]
ἐκδίκησιν	목적격 단 여 [ἐκδίκησις 복수, 형벌]
καταπονουμένῳ	분사 수동태 여격 단 남 [καταπονέω 괴롭히다, 학대하다]
πατάξας	분사 부정과거 주격 단 남 [πατάσσω 치다, 죽이다]

25 그는 그의 형제들이 하나님께서 자기의 손을 통하여 구원해 주시는 것을 깨달으리라고 생각하였으나 그들이 깨닫지 못하였더라

ἐνόμιζεν δὲ συνιέναι τοὺς ἀδελφοὺς [αὐτοῦ] ὅτι ὁ θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν σωτηρίαν αὐτοῖς· οἱ δὲ οὐ συνῆκαν.

ἐνόμιζεν	3인칭 단 미완료 [νομίζω 생각하다, 믿다]
συνιέναι	부정사 [συνίημι 알다, 이해하다]
συνῆκαν	3인칭 복 부정과거 [συνίημι 알다, 이해하다]

26 이튿날 이스라엘 사람끼리 싸울 때에 모세가 와서 화해시키려 하여 이르되 너희는 형제인데 어찌 서로 해치느냐 하니

τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις καὶ συνήλλασσεν αὐτοὺς εἰς εἰρήνην εἰπών· ἄνδρες, ἀδελφοί ἐστε·
ἱνατί ἀδικεῖτε ἀλλήλους;

ἐπιούσῃ	여격 단 여 [ἐπιοῦσα 다가오는, 연이어 일어나는]
ὤφθη	3인칭 단 부정과거 수동 [ὁράω 보다]
μαχομένοις	분사 여격 복 남 중간 [μάχομαι 싸우다]
συνήλλασσεν	3인칭 단 미완료 [συνελαύνω 화해시키다, 억지로 하게 하다]
εἰπών	분사 부정과거 주격 단 남 [λέγω 말하다]

27 그 동무를 해치는 사람이 모세를 밀어뜨려 이르되 누가 너를 관리와 재판장으로 우리 위에 세웠느냐

ὁ δὲ ἀδικῶν τὸν πλησίον ἀπώσατο αὐτὸν εἰπών·
τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμῶν;

ἀπώσατο	3인칭 단 부정과거 중간(dep) [ἀπωθέω 밀어버리다, 거절하다]
δικαστὴν	목적격 단 남 [δικαστής 재판관]

28 네가 어제는 애굽 사람을 죽임과 같이 또 나를 죽이려느냐 하니
μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες ἐχθὲς τὸν Αἰγύπτιον;

ἀνελεῖν	부정사 부정과거 [ἀναιρέω 들어 올리다, 없애다]
τρόπον	목적격 단 남 [τρόπος 방식]
ἀνεῖλες	2인칭 단 부정과거 [ἀναιρέω 들어 올리다, 없애다]
ἐχθὲς	[어제]

29 모세가 이 말 때문에 도주하여 미디안 땅에서 나그네 되어 거기서 아들 둘을 낳으니라
ἔφυγεν δὲ Μωϋσῆς ἐν τῷ λόγῳ τούτῳ καὶ ἐγένετο πάροικος
ἐν γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο.

ἔφυγεν	3인칭 단 부정과거 [φεύγω 도망하다 도주하다]
ἐγένετο	3인칭 단 부정과거 중간(dep) [γίνομαι ~이 되다]
πάροικος	주격 단 남 [πάροικος 외국인 거주자]

30 사십 년이 차매 천사가 시내 산 광야 가시나무 떨기 불꽃 가운데서 그에게 보이거늘
Καὶ πληρωθέντων ἐτῶν τεσσεράκοντα ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ
τοῦ ὄρους Σινᾶ ἄγγελος ἐν φλογὶ πυρὸς βάτου.

πληρωθέντων	분사 부정과거 수동 소유격 복 중 [πληρόω 채우다]
ἐτῶν	소유격 복 중 [ἔτος 해, 년]
ὤφθη	3인칭 단 부정과거 수동 [ὁράω 보다]
ὄρους	소유격 단 중 [ὄρος 산]
φλογὶ	여격 단 여 [φλόξ 불꽃]
πυρὸς	소유격 단 중 [πῦρ 불]
βάτου	소유격 단 여 [βάτος 덤불, 가시덤불]

31 모세가 그 광경을 보고 놀랍게 여겨 알아보려고 가까이 가니 주의 소리가 있어
ὁ δὲ Μωϋσῆς ἰδὼν ἐθαύμαζεν τὸ ὅραμα,
προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι ἐγένετο φωνὴ κυρίου·

ἐθαύμαζεν	3인칭 단 부정과거 [θαυμάζω 놀라다]
ὅραμα	목적격 단 중 [ὅραμα 광경]
κατανοῆσαι	부정사 부정과거 [κατανοέω 주목하다, 보다]

32 나는 네 조상의 하나님 즉 아브라함과 이삭과 야곱의 하나님이라 하신대 모세가 무서워 감히 바라보지 못하더라
ἐγὼ ὁ θεὸς τῶν πατέρων σου, ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.
ἔντρομος δὲ γενόμενος Μωϋσῆς οὐκ ἐτόλμα κατανοῆσαι.

ἔντρομος	주격 단 남 [ἔντρομος 떨리는]
ἐτόλμα	3인칭 단 미완료 [τολμάω 감히~하다]
κατανοῆσαι	부정사 부정과거 [κατανοέω 알아차리다, 생각하다]

33 주께서 이르시되 네 발의 신을 벗으라 네가 서 있는 곳은 거룩한 땅이니라
εἶπεν δὲ αὐτῷ ὁ κύριος· λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου,
ὁ γὰρ τόπος ἐφ᾽ ᾧ ἕστηκας γῆ ἁγία ἐστίν.

λῦσον	2인칭 단 부정과거 명령법 [λύω 풀다]
ὑπόδημα	목적격 단 중 [ὑπόδημα 신발]
ἕστηκας	2인칭 단 완료 [ἵστημι 세우다]

34 내 백성이 애굽에서 괴로움 받음을 내가 확실히 보고 그 탄식하는 소리를 듣고 그들을 구원하려고 내려왔노니 이제 내가 너를 애굽으로 보내리라 하시니라

ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ
καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐτούς·
καὶ νῦν δεῦρο ἀποστείλω σε εἰς Αἴγυπτον.

ἰδὼν	분사 부정과거 주격 단 남 [ὁράω 보다]
εἶδον	1인칭 단 부정과거 [ὁράω 보다]
κάκωσιν	목적격 단 여 [κάκωσις 학대]
στεναγμοῦ	소유격 단 남 [στεναγμός 탄식]
κατέβην	1인칭 단 부정과거 [καταβαίνω 내려오다, 내려가다]
ἐξελέσθαι	부정사 부정과거 중간 [ἐξαιρέω 빼내다, 구해내다]
ἀποστείλω	1인칭 단 부정과거 접속법 [ἀποστέλλω 보내다]

35 그들의 말이 누가 너를 관리와 재판장으로 세웠느냐 하며 거절하던 그 모세를 하나님은 가시나무 떨기 가운데서 보이던 천사의 손으로 관리와 속량하는 자로서 보내셨으니

Τοῦτον τὸν Μωϋσῆν ὃν ἠρνήσαντο εἰπόντες·
τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν; τοῦτον ὁ θεὸς
[καὶ] ἄρχοντα καὶ λυτρωτὴν ἀπέσταλκεν σὺν χειρὶ ἀγγέλου
τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.

ἠρνήσαντο	3인칭 복 부정과거 [ἀρνέομαι 거절하다, 부인하다]
εἰπόντες	분사 부정과거 주격 복 남 [λέγω 말하다]
ἄρχοντα	목적격 단 남 [ἄρχων 통치자, 관리]
δικαστὴν	목적격 단 남 [δικαστής 재판장]
λυτρωτὴν	목적격 단 여 [λυτρωτής 구원자]
ἀπέσταλκεν	3인칭 단 완료 [ἀποστέλλω 보내다]
χειρὶ	여격 단 여 [χείρ 손]
βάτῳ	여격 단 여 [βάτος 덤불, 가시덤불]

36 이 사람이 백성을 인도하여 나오게 하고 애굽과 홍해와 광야에서 사십 년간 기사와 표적을 행하였느니라

οὗτος ἐξήγαγεν αὐτοὺς ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτῳ καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσεράκοντα.

ἐξήγαγεν	3인칭 단 부정과거 [ἐξάγω 이끌어내다]
ποιήσας	분사 부정과거 주격 단 남 [ποιέω 행하다, 만들다]
τέρατα	목적격 복 중 [τέρας 이적]
σημεῖα	목적격 복 중 [σημεῖον 표적]
ἐρυθρᾷ	여격 단 여 [ἐρυθρός 붉은]

37 이스라엘 자손에 대하여 하나님이 너희 형제 가운데서 나와 같은 선지자를 세우리라 하던 자가 곧 이 모세라

οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ εἴπας τοῖς υἱοῖς Ἰσραήλ·
προφήτην ὑμῖν ἀναστήσει ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ.

εἴπας	분사 부정과거 주격 단 남 [λέγω 말하다]
ἀναστήσει	3인칭 단 미래 [ἀνίστημι 일으키다, 세우다]

38 시내 산에서 말하던 그 천사와 우리 조상들과 함께 광야 교회에 있었고 또 살아 있는 말씀을 받아 우리에게 주던 자가 이 사람이라

οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ
μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ
καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν,

ἐκκλησίᾳ	여격 단 여 [ἐκκλησία 회중, 교회]
λαλοῦντος	분사 소유격 단 남 [λαλέω 말하다]
ζῶντα	분사 목적격 복 중 [ζάω 살다]
ἐδέξατο	3인칭 단 부정과거 [δέχομαι 받다]
λόγια	목적격 복 중 [λόγιον 말씀]
δοῦναι	부정사 부정과거 [δίδωμι 주다]

39 우리 조상들이 모세에게 복종하지 아니하고자 하여 거절하며 그 마음이 도리어 애굽으로 향하여

ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ᾽ ἀπώσαντο καὶ ἐστράφησαν ἐν ταῖς καρδίαις αὐτῶν εἰς Αἴγυπτον

ἠθέλησαν	3인칭 복 부정과거 [θέλω 원하다]
ὑπήκοοι	주격 복 남 [ὑπήκοος 순종하는]
ἀπώσαντο	3인칭 복 부정과거 중간 [ἀπωθέω 밀쳐내다]
ἐστράφησαν	3인칭 복 부정과거 수동 [στρέφω 돌리다]

40 아론더러 이르되 우리를 인도할 신들을 우리를 위하여 만들라 애굽 땅에서 우리를 인도하던 이 모세는 어떻게 되었는지 알지 못하노라 하고

εἰπόντες τῷ Ἀαρών· ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί ἐγένετο αὐτῷ.

προπορεύσονται	3인칭 복 미래 [προπορεύομαι 앞서 가다]

41 그 때에 그들이 송아지를 만들어 그 우상 앞에 제사하며 자기 손으로 만든 것을 기뻐하더니

καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

ἐμοσχοποίησαν	3인칭 복 부정과거 [μοσχοποιέω 송아지를 만들다]
ἀνήγαγον	3인칭 복 부정과거 [ἀνάγω 인도하다]
εἰδώλῳ	여격 단 중 [εἴδωλον 우상]
εὐφραίνοντο	3인칭 복 미완료 [εὐφραίνω 기쁘게 하다, 격려하다]

42 하나님이 외면하사 그들을 그 하늘의 군대 섬기는 일에 버려 두셨으니 이는 선지자의 책에 기록된 바 이스라엘의 집이여 너희가 광야에서 사십 년간 희생과 제물을 내게 드린 일이 있었느냐

ἔστρεψεν δὲ ὁ θεὸς καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσεράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;

ἔστρεψεν	3인칭 단 부정과거 [στρέφω 돌리다, 돌다]
παρέδωκεν	3인칭 단 부정과거 [παραδίδωμι 넘기다]
λατρεύειν	부정사 [λατρεύω 섬기다]
στρατιᾷ	여격 단 여 [στρατιά 군대]
βίβλῳ	여격 단 여 [βίβλος 책]
σφάγια	목적격 복 중 [σφάγιον 희생 제물]
προσηνέγκατέ	2인칭 복 부정과거 [προσφέρω 제사를 드리다]

43 몰록의 장막과 신 레판의 별을 받들었음이여 이것은 너희가 절하고자 하여 만든 형상이로다 내가 너희를 바벨론 밖으로 옮기리라 함과 같으니라

καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μόλοχ καὶ τὸ ἄστρον τοῦ θεοῦ [ὑμῶν] Ῥαιφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς, καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος.

ἀνελάβετε	2인칭 복 부정과거 [ἀναλαμβάνω 들어 올리다, 받들다]
σκηνὴν	목적격 단 여 [σκηνή 장막]
ἄστρον	목적격 단 중 [ἄστρον 별자리, 별, 별 모양의 형상]
τύπους	목적격 복 남 [τύπος 모형, 형상]
προσκυνεῖν	부정사 [προσκυνέω 절하다, 경배하다]
μετοικιῶ	1인칭 단 미래 [μετοικίζω 옮기다]
ἐπέκεινα	[저편]

44 광야에서 우리 조상들에게 증거의 장막이 있었으니 이것은 모세에게 말씀하신 이가 명하사 그가 본 그 양식대로 만들게 하신 것이라

Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει·

μαρτυρίου	소유격 단 중 [μαρτύριον 증거]
διετάξατο	3인칭 단 부정과거 중간 [διατάσσω 배치하다, 정하다, 명령하다]
λαλῶν	분사 주격 단 남 [λαλέω 말하다]
ἑωράκει	3인칭 단 과거완료 [ὁράω 보다]

45 우리 조상들이 그것을 받아 하나님이 그들 앞에서 쫓아내신 이방인의 땅을 점령할 때에 여호수아와 함께 가지고 들어가서 다윗 때까지 이르니라

ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἐξῶσεν ὁ θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν ἕως τῶν ἡμερῶν Δαυίδ,

εἰσήγαγον	3인칭 복 부정과거 [εἰσάγω 가지고 들어가다]
διαδεξάμενοι	분사 부정과거 주격 복 남 [διαδέχομαι 받다]
κατασχέσει	여격 단 여 [κατάσχεσις 소유]
ἐξῶσεν	3인칭 단 부정과거 [ἐξωθέω 쫓아내다]

46 다윗이 하나님 앞에서 은혜를 받아 야곱의 집을 위하여 하나님의 처소를 준비하게 하여 달라고 하더니

ὃς εὗρεν χάριν ἐνώπιον τοῦ θεοῦ καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ οἴκῳ Ἰακώβ.

εὗρεν	3인칭 단 부정과거 [εὑρίσκω 발견하다]
ᾐτήσατο	3인칭 단 중간 [αἰτέω 질문하다, 요청하다]
σκήνωμα	목적격 단 중 [σκήνωμα 장막, 처소]

47 솔로몬이 그를 위하여 집을 지었느니라
Σολομὼν δὲ οἰκοδόμησεν αὐτῷ οἶκον.

οἰκοδόμησεν 3인칭 단 부정과거 [οἰκοδομέω 짓다]

48 그러나 지극히 높으신 이는 손으로 지은 곳에 계시지 아니하시나니 선지자가 말한 바
ἀλλ᾽ οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις κατοικεῖ,
καθὼς ὁ προφήτης λέγει·

ὕψιστος 주격 단 남 [ὕψιστος 가장 높은]
χειροποιήτοις 여격 복 남 [χειροποίητος 손으로 만든]
κατοικεῖ 3인칭 단 [κατοικέω 거주하다]

49 주께서 이르시되 하늘은 나의 보좌요 땅은 나의 발등상이니 너희가 나를 위하여
무슨 집을 짓겠으며 나의 안식할 처소가 어디냐
ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου·
ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος,
ἢ τίς τόπος τῆς καταπαύσεώς μου;

θρόνος 주격 단 남 [θρόνος 보좌]
ὑποπόδιον 주격 단 중 [ὑποπόδιον 발등상]
οἰκοδομήσετέ 2인칭 복 미래 [οἰκοδομέω 짓다]
καταπαύσεώς 소유격 단 여 [κατάπαυσις 안식]

50 이 모든 것이 다 내 손으로 지은 것이 아니냐 함과 같으니라
οὐχὶ ἡ χείρ μου ἐποίησεν ταῦτα πάντα;

51 목이 곧고 마음과 귀에 할례를 받지 못한 사람들아 너희도 너희 조상과 같이 항상 성령을 거스르는도다

Σκληροτράχηλοι καὶ ἀπερίτμητοι καρδίαις καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς.

Σκληροτράχηλοι	주격 복 남 [σκληροτράχηλος 완고한, 고집 센]
ἀπερίτμητοι	주격 복 남 [ἀπερίτμητος 할례 받지 않은]
ὠσίν	여격 복 중 [οὖς 귀]
ἀεὶ	[항상]
ἀντιπίπτετε	2인칭 복 [ἀντιπίπτω 대항하다, 다투다]

52 너희 조상들이 선지자들 중의 누구를 박해하지 아니하였느냐 의인이 오시리라 예고한 자들을 그들이 죽였고 이제 너희는 그 의인을 잡아 준 자요 살인한 자가 되나니

τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς ἐγένεσθε,

ἐδίωξαν	3인칭 복 부정과거 [διώκω 박해하다, 핍박하다]
ἀπέκτειναν	3인칭 복 부정과거 [ἀποκτείνω 죽이다]
προκαταγγείλαντας	분사 부정과거 목적격 복 남 [προκαταγγέλλω 미리 선포하다]
ἐλεύσεως	소유격 단 여 [ἔλευσις 오는 것]
προδόται	주격 복 남 [προδότης 배신자]
φονεῖς	주격 복 남 [φονεύς 살인자]
ἐγένεσθε	2인칭 복 부정과거 [γίνομαι ~이 되다]

53 너희는 천사가 전한 율법을 받고도 지키지 아니하였도다 하니라

οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων καὶ οὐκ ἐφυλάξατε.

διαταγὰς	목적격 복 여 [διαταγή 배치, 규정]

54 그들이 이 말을 듣고 마음에 찔려 그를 향하여 이를 갈거늘
Ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς καρδίαις αὐτῶν καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ᾽ αὐτόν.

Ἀκούοντες	분사 주격 복 남 [ἀκούω 듣다]
διεπρίοντο	3인칭 복 미완료 수동 [διαπρίω 톱으로 자르다]
ἔβρυχον	3인칭 복 미완료 [βρύχω 갈다, 이를 갈다]
ὀδόντας	목적격 복 남 [ὀδούς 이, 치아]

55 스데반이 성령 충만하여 하늘을 우러러 주목하여 하나님의 영광과 및 예수께서 하나님 우편에 서신 것을 보고
ὑπάρχων δὲ πλήρης πνεύματος ἁγίου ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδεν δόξαν θεοῦ καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ

ἀτενίσας	분사 부정과거 주격 단 남 [ἀτενίζω 응시하다]
ἑστῶτα	분사 완료 목적격 단 남 [ἵστημι 세우다, 서다]
δεξιῶν	소유격 복 중 [δεξιός 오른편의]

56 말하되 보라 하늘이 열리고 인자가 하나님 우편에 서신 것을 보노라 한대
καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς διηνοιγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ.

θεωρῶ	1인칭 단 [θεωρέω 보다]
διηνοιγμένους	분사 완료 수동 목적격 복 남 [διανοίγω 열다]

57 그들이 큰 소리를 지르며 귀를 막고 일제히 그에게 달려들어
κράξαντες δὲ φωνῇ μεγάλῃ συνέσχον τὰ ὦτα αὐτῶν
καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτὸν

κράξαντες	분사 부정과거 주격 복 남 [κράζω 소리 지르다]
συνέσχον	3인칭 복 부정과거 [συνέχω 억누르다]
ὥρμησαν	3인칭 복 부정과거 [ὁρμάω 달려들다]
ὁμοθυμαδὸν	[한 마음으로, 일치하여]

58 성 밖으로 내치고 돌로 칠새 증인들이 옷을 벗어 사울이라 하는
청년의 발 앞에 두니라
καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως ἐλιθοβόλουν.
καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν
παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου,

ἐκβαλόντες	분사 부정과거 주격 복 남 [ἐκβάλλω 던져 버리다]
ἔξω	[밖]
ἐλιθοβόλουν	3인칭 복 미완료 [λιθοβολέω 돌로 치다, 돌로 쳐 죽이다]
μάρτυρες	주격 복 남 [μάρτυς 증인]
νεανίου	소유격 단 남 [νεανίας 청년]

59 그들이 돌로 스데반을 치니 스데반이 부르짖어 이르되 주 예수여 내 영혼을 받으시옵소서 하고

καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον καὶ λέγοντα· κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου.

ἐλιθοβόλουν	3인칭 복 미완료 [λιθοβολέω 돌로 치다, 돌로 쳐 죽이다]
ἐπικαλούμενον	분사 목적격 단 남 [ἐπικαλέω 부르다, 호소하다]
δέξαι	2인칭 단 부정과거 명령법 [δέχομαι 받다]

60 무릎을 꿇고 크게 불러 이르되 주여 이 죄를 그들에게 돌리지 마옵소서 이 말을 하고 자니라

θεὶς δὲ τὰ γόνατα ἔκραξεν φωνῇ μεγάλῃ· κύριε, μὴ στήσῃς αὐτοῖς ταύτην τὴν ἁμαρτίαν. καὶ τοῦτο εἰπὼν ἐκοιμήθη.

θεὶς	분사 부정과거 주격 단 남 [τίθημι 놓다]
γόνατα	목적격 복 중 [γόνυ 무릎]
ἔκραξεν	3인칭 단 부정과거 [κράζω 외치다, 부르짖다]
στήσῃς	2인칭 단 부정과거 접속법 [ἵστημι 세우다, 놓다]
ἐκοιμήθη	3인칭 단 부정과거 수동 [κοιμάομαι 자다, 잠들다]